EducT
1118.60
305

Educ T 1118.60.305

2044 102 772 944

HARVARD COLLEGE
LIBRARY

THE ESSEX INSTITUTE
TEXT-BOOK COLLECTION

GIFT OF

GEORGE ARTHUR PLIMPTON

OF NEW YORK

JANUARY 25, 1924

Digitized by Google

GREEK LESSONS

CONSISTING

OF SELECTIONS FROM XENOPHON'S ANABASIS, WITH DIRECTIONS FOR THE STUDY OF THE GRAMMAR, NOTES, EXERCISES IN TRANSLATION FROM ENGLISH INTO GREEK, AND A VOCABULARY.

BY ALPHEUS CROSBY,

PROFESSOR OF THE GREEK LANGUAGE AND LITERATURE IN DARTMOUTH COLLEGE.



Ἀρχὴ δέ τοι ἥμισυ παντός.

HESIOD.

BOSTON:

CROSBY, NICHOLS, LEE, & CO.,

117 WASHINGTON STREET.

1860.

Digitized by Google

Educ T 1118.60.305

HARVARD COLLEGE LIBRARY
GIFT OF
GEORGE ABBOTT PEABODY
JANUARY 15, 1924

"The language of Xenophon is remarkable for sweetness, variety, perspicuity, and elegance; — rich without a superfluity of figures, and smooth without sameness and tedious uniformity. His sentiments are such as might have been expected from the most faithful and judicious of all the disciples of Socrates. They are just, elevated, and apposite; and do credit both to his heart and his understanding." — DUNBAR.

"Xenophon's pure strain,
Like the clear brook that steals along the vale."
THOMSON

Entered according to Act of Congress, in the year 1849, by Alpheus Crosby, in the Clerk's Office of the District Court of the District of New Hampshire.

UNIVERSITY PRESS, CAMBRIDGE:
Printed by Welch, Bigelow, and Company.

Digitized by Google

PREFACE.

It might once have been necessary to introduce a work like this with a labored argument to prove the importance of connecting exercises in reading and writing a language with the study of its grammar. Happily for the cause of education, that necessity no longer exists. At the same time, it appears to me entirely obvious, that it is best, in most cases, that the student should learn the first principles of a language from the grammar which he is afterwards to use, and not from a book of lessons or exercises which he will study for a short time, and then throw aside not to be again taken up. No one is ignorant of the peculiar tenacity of first impressions, and of the great dependence of the memory upon local association. It may be added, that, in the gradual work of learning the grammatical system of a language, it contributes greatly to rapid, thorough, and permanent attainment, that each point, as it is learned, should be learned in its appropriate place as a part of the system. Classification thus goes hand in hand with acquisition; and, instead of constituting a separate work requiring additional labor, presents itself as a lightener of the student's toils. For these reasons, the

Digitized by Google

following work is designed as an accompaniment to the systematic study of the grammar, and not as an introduction to it; and those parts of the grammar which are required in connection with each exercise are referred to, and not extracted.

The Selections for Reading which are here presented have been taken entirely and without change from the Anabasis of Xenophon. That the student should obtain his first impressions of a language in its classic purity and familiar prose form will not, I think, be questioned in words, however much it may have been neglected in practice. This becomes especially important, when the reading lessons are made, as they always should be, models for composition in the language.

The selections have been restricted to a single author and a single work for several reasons. It seems undesirable that the student, in his first attempts to read and write a language, should be distracted by diversities of style. In reading detached passages, one often wishes to examine the connection from which they have been taken. This can be done with ease, when they have been all extracted from a single familiar work. For those who will pass from these Lessons to the Anabasis, there are special advantages. They will come to the reading of that charming work no strangers, but having already a familiarity with its vocabulary, and some degree of acquaintance with its style and subject-matter. And, as they read sentence after sentence upon its attractive pages, they will recognize many an old friend; and will now obtain that intimacy of acquaintance which, with sentences as with men, can only be got at their

Digitized by Google

nomes. Their introductory acquisitions have now lost that isolated, lifeless character, which is so apt to belong to mere select sentences; and have become vital parts of an interesting whole. The student leaves his first lessons, not, as too often happens, to forget them, but to repeat them as portions of a delightful narrative. It may be added, that the very character of the Anabasis excludes, for the most part, those abstract sentences, which are wont to be the special stumbling-blocks in introductory lessons.

The Notes and Vocabulary, in connection with the author's Grammar, which contains so many citations from the Anabasis, will, it is hoped, be found to supply abundant aid and illustration; and yet, it is believed, not more than is desirable in a work of this kind. It is not wise to harass a student's first essays in a new language with needless difficulties. Upon this principle, I have sought rather to diminish than to multiply the number of distinct words introduced; and have sometimes chosen to repeat a selection with additions, rather than introduce one that should be entirely new.

To give unity to the student's labors, and to avoid all unnecessary increase of them, the Exercises in Translation from English into Greek have been simply based upon the reading lessons, and require no words which have not previously occurred in these lessons. Indeed the close conformity of the two series will, it is believed, afford valuable assistance in the reading lessons themselves. No English-Greek vocabulary has been given; because, constructed as the exercises are, it has been supposed that such a vocabulary would not only be useless, but positively injurious, diverting

Digitized by Google

the student from the proper source of aid, the Greek text. In all cases in which it was thought possible that the student could be at a loss, reference has been made to the page and line where the required word or construction has occurred.

A few SPECIAL SUGGESTIONS and EXPLANATIONS are subjoined.

1. It is earnestly recommended, that these Lessons should be studied, paragraph by paragraph, according to the following method. (I.) Let the student observe the special directions prefixed to the Notes, and carefully learn the portions of the Grammar there pointed out. (II.) Let him then learn to construe the paragraph, and to parse every word in full according to the table in ¶ 65. (III.) Let him translate into Greek the corresponding Exercises, never omitting to do this before proceeding to a new paragraph.

2. The numbers inclosed in parentheses at the bottom of a page of the Greek text denote the lines upon the page, and are followed by references to the parts of the Anabasis from which the selections commencing in each line have been taken. These references are made to book, chapter, and section, according to the common division.

3. By the *Greeks*, *soldiers*, *generals*, and *captains* mentioned in the text will be generally understood those belonging to the army with which Cyrus the Younger made his ill-fated expedition against his brother Artaxerxes; and by the *countries*, *cities*, *villages*, *rivers*, *barbarians*, and *enemies*, those which these Greeks found in their route.

4. Numbers preceded by the mark § refer to sections of the author's Greek Grammar; and those proceeded by the mark ¶, to paragraphs of the Tables prefixed to the Grammar. The letter f immediately attached to a number signifies *and the following*.

5. In the Exercises (pp. 67–89), a few words are printed in Italics, to show that they are to be omitted in the Greek; a few are inclosed in brackets [ ], to show that they are to be inserted in the Greek; and a few are printed in small capitals, to direct special attention to them. The Greek idiom is sometimes given in Italics at the bottom of the page. The small figures at the top of the line refer to page and line of the Greek text.

6. The Greek has, in general, great freedom in respect to the

Digitized by Google

arrangement of words; and their position depends, in no small degree, upon their comparative emphasis, and upon the effect produced on the ear. In general, the first place in a clause is the most emphatic, and the last place the next so. The student will observe carefully the special precepts upon the position of words, which he finds either here or in the Grammar; and, in all doubtful cases, will be wise in adhering closely to the order of his models in the Greek text.

7. In the Vocabulary, the words inclosed in parentheses to mark derivation or composition are translated, except when they also occur in the alphabetical arrangement; and a few words not belonging to the text are inserted in brackets to avoid repeated translation. Some English words derived from Greek words, or cognate with them, are inserted in small capitals, chiefly as aids to the memory. The gender of nouns has been marked in the usual way, except when general rules rendered it needless (§§ 74. β, 75, 76).

8. Of the abbreviations which occur, compos. denotes composition; cons., consonant; dim., diminutive; esp., especially; impers., impersonal; indecl., indeclinable; L., Line; Less., Lesson; P., Page; pers., person or personal; prop., properly; R., Rule; r., root; subst., substantively; Voc., Vocabulary. Most of the abbreviations, as occurring in the Grammar and there explained, require no special notice.

9. Let the student, amid those introductory difficulties and toils from which no worthy pursuit is wholly exempt, cheer himself with the assurance, that the saying of old Hesiod, *The beginning is half of the whole work*, applies to nothing with greater force than to the learning of a language; nor let him forget that other proverb, Εὖ σοι τὸ μέλλον ἔξει, ἢν τὸ παρὸν εὖ τιθῇς, *Your future course will be prosperous, if your present work be well done.* Especially, let him bear in mind, that he is studying the language which has been the most celebrated of all for beauty and perfection of structure; — the language in which are enshrined, as jewels in a casket of gold, the most wonderful monuments of ancient genius, and the priceless treasures of the Christian revelation; — the language in which Homer sung, Socrates conversed, Demosthenes harangued, Paul wrote, and, highest honor of all, the words of Him who *spake as never man spake* were recorded.

Digitized by Google

Digitized by Google

GREEK LESSONS.

I.

1. Ἐπιβουλεύει. Ἐπιβουλεύουσιν. Ἐπιβουλεύειν. Συμβουλεύω. Συμβουλεύει. Ξυμβουλεύετε. Παίει. Παίουσι καὶ βάλλουσιν. Παῖε, παῖε, βάλλε, βάλλε.

2. Λέγουσιν. Λέγεις. Λεγέτω. Θαυμάζειν. Οὐ θαυμάζω. Μὴ θαυμάζετε. Οὐκ ἐθέλω. Καίειν. Καίωμεν. Μὴ μέλλωμεν. Μανθάνουσιν ἄρχειν. Ἀρχέτω. Συλλαμβάνει. Διδασκέτω. Νομίζω. Εἰ μὲν ξυμβουλεύοιμι. Νόμιζε δέ. Νομίζετε.

II.

1. Συλλαμβάνει Κῦρον. Κῦρος συλλαμβάνει. Πέμπει Λύκιον. Καὶ πέμπουσι Καλλίμαχον. Χειρίσοφος πέμπει. Ἐνταῦθα δὴ λέγει Χειρίσοφος. Ἐπιβουλεύει Κύρῳ. Ὦ Κῦρε, λέγουσιν. Φέρουσι λίθους. Ἄρχουσι Λακεδαιμόνιοι. Ὦ Φαλῖνε, θαυμάζω.

2. Πλοῖα πέμπουσιν. Κῦρος ἐξελαύνει. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς πέντε. Ἀργύριον ἔχομεν. Πλοῖα γὰρ οὐκ ἔχομεν. Κλέαρχε καὶ Πρόξενε. Ἥλιος ἀνίσχει. Ἐξαίφνης ἀκούομεν θορύβου. Ἀργύριον μὲν οὐκ ἔχω. Ἀπαγγέλλετε Ἀριαίῳ. Ἀναβαίνει Χειρίσοφος.

(L. 1.) I. 6. 1: III. 1. 35: I. 2. 20. (2.) I. 6. 9: III. 1. 5: V. 6. 12: VI. 1. 5. (3.) III. 4. 49: V. 7. 21. (4.) I. 7. 5: II. 1. 20: I. 3. 15: III. 5. 13: VII. 1. 25. (5.) I. 3. 3; 3. 10; 6. 2: III. 5. 6. (6.) III. 1. 46: I. 9. 4: V. 7. 10. (7.) I. 1. 3: V. 7. 11: III. 2. 29: V 6. 4. (8.) VI. 6. 24: I. 4. 16. (9.) I. 1. 3; 6. 4; 10. 14. (10.) V. 6. 14: IV. 5. 22 (11.) IV. 7. 3: I. 6. 1. (12.) I. 7. 5: IV. 7. 25: VI. 6. 13. (13.) II. 1. 10. (14.) V 6. 35: I. 4. 9; 4. 10. (15.) VII. 3. 5: V. 4. 5. (16.) I. 5. 16: V. 7. 6. (17.) V. 7. 21 VII. 7. 53. (18.) II. 1. 4: IV. 1. 7.

Digitized by Google

III.

1. *Βουλεύεται. Βουλευόμεθα. Βουλεύεσθαι. Μαν θάνουσιν ἄρχειν τε καὶ ἄρχεσθαι. Βούλομαι. Εἰ βούλεσθε, λέγετε. Ἀλλὰ, εἰ βούλει, μένε. Ἐθέλω πορεύεσθαι. Ἀλλὰ πορευώμεθα. Οὐ βούλεσθε συμπορεύεσθαι.*

2. *Κῦρον δὲ μεταπέμπεται. Πείθεται. Οὐ θέλετε πείθεσθαι; οὐδὲ ἔπεσθαι. Εἰ δὲ χρῄζεις, πορεύου. Μὴ, πρὸς θεῶν, μαινώμεθα. Μὴ οὖν οἷον. Φαινέσθω. Σώζοισθέ τε ἀσφαλῶς. Νῦν δὲ ἀπέρχομαι. Ἐξέρχονται δὴ σὺν δορατίοις καὶ ἀσκοῖς. Οὐκ αἰσχύνεσθε οὔτε θεοὺς οὔτ' ἀνθρώπους;*

IV.

1. *Κτησίας λέγει. Κῦρος συλλαμβάνει Ὀρόντην. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς πέντε, παρασάγγας τριάκοντα. Ἀγασίας Στυμφάλιος λοχᾱγὸς τιτρώσκεται. Λῃστὴς δὲ προσέρχεται.*

2. *Ἐξελαύνει διὰ Φρυγίας. Γράφει ἐπιστολήν. Σήσαμον καὶ μελίνην καὶ κέγχρον καὶ πυροὺς καὶ κριθὰς φέρει. Ἐκ θαλάττης εἰς θάλατταν. Στρατιῶται, μὴ θαυμάζετε. Ἔρχεται Μιθριδάτης. Δέκα ἅμαξαι πετρῶν. Σεύθης λέγει. Σεύθης πέμπει Ἀβροζέλμην.*

V.

1. *Πάροδος στενή. Εἰς φιλίαν χώραν. Ὄνοι ἄγριοι. Ὥσπερ νεφέλη λευκή. Ὁδὸς ἁμαξιτὸς, ὀρθία ἰσχῡρῶς. Πρὸς ἰσχῡρὰ χωρία. Τετρακόσιοι ὁπλῖται. Παρασάγγαι χίλιοι. Ἐξέρχονται δὴ σὺν δορατίοις καὶ ἀσκοῖς καὶ θυλάκοις καὶ ἄλλοις ἀγγείοις, εἰς δισχιλίους ἀνθρώπους.*

(L. 1.) I. 1. 4: III. 2. 8: I. 3. 11; 9. 4. (2.) III. 1. 25: V. 6. 37. (3.) III. 4. 41; 4. 41. (4.) IV. 7. 7: I. 3. 5. (6.) I. 1. 2; 1. 3; 3. 6. (7.) III. 4. 41: VII. 1. 29. (8.) II. 1. 12: V. 7. 10: VI. 6. 18. (9.) VII. 6. 34: VI. 4. 23. (10.) II. 5. 39. (12.) I. 8. 27; 9. 4. (13.) I. 4. 10. (14.) VII. 8. 19. (15.) VI. 1. 8. (16.) I. 2. 6; 6. 3; 2. 22. (18.) I. 2. 22; 3. 3. (19.) III. 3. 1: IV. 7. 10. (20.) VII. 6. 44: 6. 43. (21.) I. 7. 15: III. 2. 9: I. 5. 2. (22.) I. 8. 8; 2. 21. (23.) IV. 6. 11: I. 4. 3: VII. 3. 26. (24.) VI. 4. 23.

Digitized by Google

2. Οἱ στρατιῶται φέρουσι λίθους. Ἡ στρατιὰ οὕτω γιγνώσκει. Τετάρτῃ δ' ἡμέρᾳ καταβαίνουσιν εἰς τὸ πεδίον. Συγκλείουσι τὰς πύλας, καὶ τὸν μοχλὸν ἐμβάλλουσιν. Κοινῆς σωτηρίας δεόμεθα. Ἀλλὰ φυγῇ λείπουσι τὸ χωρίον.

3. Σημαίνει ὁ σαλπιγκτής. Ἐνταῦθα δὴ Κύρου ἀποτέμνεται ἡ κεφαλή. Αἱ σπονδαὶ μενόντων. Καὶ ὁ θεὸς ἴσως ἄγει οὕτως. Φεύγουσι δρόμῳ, καὶ ἐμπίπτουσιν εἰς τὴν θάλατταν.

4. Ἀναβαίνει οὖν ὁ Κῦρος. Ἔρχεται πρὸς τὸν Κῦρον. Ἐξελαύνει διὰ τῆς Λυδίας. Πάλιν φαίνεται ὁ Μιθριδάτης. Ὁ δὲ Ἐτεόνικος εἰς τὴν ἄκραν ἀποφεύγει. Ἐπὶ ταῖς πηγαῖς τοῦ Μαρσύου ποταμοῦ. Ἐν ταῖς κώμαις ταῖς ὑπὲρ τοῦ πεδίου τοῦ παρὰ τὸν Κεντρίτην ποταμόν.

5. Ὁ δεσπότης ἑκάστης τῆς οἰκίας. Περὶ δὲ τοῦ καλῶς ἀποθνήσκειν ἀγωνίζονται. Διὰ μέσου δὲ τοῦ παραδείσου. Ἐπὶ τὴν ἡμετέραν χώραν ἔρχεσθε. Οἱ τοῦ ἐμοῦ ἀδελφοῦ φίλοι. Ἀπ' ἐκείνης τῆς ἡμέρας. Παύομαι ἐκείνης τῆς διανοίας. Ἐκ τῆσδε τῆς χώρας.

6. Ἐν τῇ γῇ ἄρχουσι Λακεδαιμόνιοι καὶ ἐν τῇ θαλάττῃ τὸν νῦν χρόνον. Ἐν τῷ πρόσθεν λόγῳ. Ὁπλῖται μὲν μύριοι καὶ χίλιοι, πελτασταὶ δὲ ἀμφὶ τοὺς δισχιλίους. Τισσαφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφόν. Μόλις διαβαίνουσι τὸν Καΐκον ποταμόν. Λέγεται δὲ καὶ τοὺς ἄλλους Πέρσας ψιλαῖς ταῖς κεφαλαῖς ἐν τῷ πολέμῳ διακινδυνεύειν.

7. Ἀρχαγόρας ὁ Ἀργεῖος. Οἱ ἄλλοι στρατηγοί. Οἱ δ' ἄλλοι στρατιῶται παίουσι καὶ βάλλουσιν. Οἱ πολέμιοι ἐπιφαίνονται ἐν τῷ πεδίῳ. Τόν τε Κλεάρετον ἀποκτείνουσι καὶ τῶν ἄλλων συχνούς. Ὁ ἕτερος τὸν ἕτερον παίει. Ἐκκλίνουσιν οἱ βάρβαροι, καὶ φεύγουσιν.

(L. 1.) IV. 7. 25: VI. 1. 19. (2.) III. 4. 31. (3.) VII. 1. 15. (4.) III. 2. 32: IV. 2. 12. (6.) IV. 3. 22: I. 10. 1. (7.) II. 3. 24: VI. 3. 18. (8.) V. 7. 25. (10.) I. 1. 2; 1. 10. (11.) I. 2. 5: III. 4. 2. (12.) VII. 1. 20: I. 2. 8. (13.) IV. 3. 1. (15.) VII. 4. 14: III. 1. 43. (16.) I. 2. 7. (17.) IV. 8. 6: I. 7. 6. (18.) I. 7. 18: V. 6. 31. (19.) VII. 7. 7. (20.) VI. 6. 13. (21.) III. 1. 1: I. 2. 9. (23.) I. 1. 3. (24.) VII. 8. 18: I. 8. 6. (27.) IV. 2. 17: I. 2. 15: III. 4. 49. (28.) III. 5. 2. (29.) V. 7. 16. (30.) VI. 1. 5. (31.) I. 8. 19.

Digitized by Google

8. Κῦρος τὴν Κίλισσαν εἰς τὴν Κιλικίαν ἀποπέμπει. Τῇ δ' ὑστεραίᾳ μεταπέμπεται τοὺς στρατηγούς. Λείπουσιν οἱ βάρβαροι ἀμαχητὶ τὸν λόφον. Κῦρος δὲ μετὰ τῶν ἄλλων ἐξελαύνει διὰ Καππαδοκίας. Κλέαρχος καὶ οἱ ἐκείνου. Οἱ δὲ ἀμφὶ Τισσαφέρνην καὶ Ἀριαῖον. Οἱ ἀπὸ τῶν ἐν δεξιᾷ οἰκιῶν. Πέμπει Λύκιον τὸν Συρακόσιον καὶ ἄλλον ἐπὶ τὸν λόφον.

9. Τὰ ὑπὲρ τοῦ λόφου. Τὰ ἡμέτερα. Λαμβάνειν τὰ ἐπιτήδεια. Ἔχομεν γὰρ τὰ ἐκείνων. Τὰ περὶ Προξένου. Ἄλλος ἄλλα λέγει. Τὸ Ἀρκαδικὸν ὁπλιτικόν. Ἐν μέσῳ τῆς οἰκαδε ὁδοῦ. Εἰς καλὸν ἥκετε. Οἱ ἰᾶτροὶ καίουσι καὶ τέμνουσιν ἐπ' ἀγαθῷ. Καὶ ἐπὶ μὲν τὸ ἄκρον ἀναβαίνει Χειρίσοφος. Ἥκετε εἰς τὸ μέσον τοῦ στρατοπέδου.

10. Ὁ δὲ πείθεταί τε καὶ συλλαμβάνει Κῦρον. Ὁ δὲ τοὺς ἡμετέρους πόνους ἔχει. Λύκιος ὁ Πολυστράτου Ἀθηναῖος.

11. Τῇ δὲ αὐτῇ ἡμέρᾳ. Ξυλιζόμενοι ἐκ τοῦ αὐτοῦ. Αὐτὰ τὰ ἀπὸ τῶν οἰκιῶν ξύλα. Οἱ δὲ στρατιῶται, οἵ τε αὐτοῦ ἐκείνου καὶ οἱ ἄλλοι. Νῦν αὐτοὶ καίουσιν. Τισσαφέρνης καὶ οἱ σὺν αὐτῷ. Σὺν ὀλίγοις τοῖς περὶ αὐτόν. Τισσαφέρνης διαβάλλει τὸν Κῦρον πρὸς τὸν ἀδελφὸν, ὡς ἐπιβουλεύοι αὐτῷ. Ἀποστέλλει τοὺς ἀγγέλους, καὶ σὺν αὐτοῖς Χειρίσοφον. Αὐτὸς δὲ τῶν πώλων λαμβάνει. Ὁ δὲ λέγει αὐτῷ. Ἄγουσιν αὐτὸν παρὰ τὸν Κλέαρχον, καὶ φράζουσιν, ἃ λέγει.

VI.

1. Ἔλεγε τοῖς στρατιώταις. Οἱ βάρβαροι ἐτόξευον καὶ ἔβαλλον. Ἐκεῖνος ἐθήρευεν ἀπὸ ἵππου. Ἔλεγον, ὅτι θαυμάζοιεν. Ὁ Κλέαρχος ἐβουλεύετο. Ἐβουλεύ-

---

(L. 1.) I. 2. 20. (2.) VII. 2. 14: IV. 2. 15. (3.) I. 2. 20. (4.) I. 2. 15. (5.) III. 5. 1· V. 2. 24. (6.) I. 10. 14. (8.) I. 10. 14; 3. 9: V. 1. 7. (9.) V. 1. 9: II. 5. 37. (10.) II. 1. 15: IV. 8. 18: III. 1. 2. (11.) IV. 7. 3. V. 8. 18. (12.) IV. 1. 7. (13.) III. 1. 46. (14.) I. 1. 3: VII. 6. 9. (15.) III. 3. 20. (17.) I. 5. 12: II. 4. 11. (18.) II. 2. 16: I. 3. 7. (19.) III. 5. 5. (20.) III. 5. 3: I. 5. 12. (21.) I. 1. 3. (22.) II. 1. 5. (23.) IV. 5. 35 (24.) III. 4. 39: II. 4. 18. (26.) IV. 8. 14; 2. 12. (27.) I. 2. 7: V. 7. 18. (28.) II. 3 9: V. 1. 2.

Digitized by Google

οντο περὶ τῆς λοιπῆς πορείας. Ἐνταῦθα δὴ κοινῇ ἐβουλεύοντο. Ἐνταῦθα οἱ πελτασταὶ ἐδίωκον. Οἱ δὲ ἡδέως ἐπείθοντο, ἐπίστευον γὰρ αὐτῷ. Ἐπιστευόμην δὲ ὑπὸ Λακεδαιμονίων. Ἐφαίνετο ἴχνια ἵππων. Οἱ δ' ἔλεγον, ὅτι περὶ σπονδῶν ἥκοιεν.

2. Ἐθαύμαζον, ὅτι οὐδαμοῦ Κῦρος φαίνοιτο. Ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην ἐστρατεύετο. Οἱ δὲ στρατιῶται ἐχαλέπαινον τοῖς στρατηγοῖς. Οἱ δὲ λοχᾶγοὶ ἐπὶ ταῖς θύραις ἔμενον. Τῇ δ' ὑστεραίᾳ ἐπορεύοντο διὰ τοῦ πεδίου. Αὐτὸς δὲ σὺν τοῖς λοιποῖς ἐπορεύετο ἐπὶ τὸν δεύτερον λόφον. Ὁ δ' αὐτῷ οὐκ ἐπίστευεν. Ἐπίστευον γὰρ τοῖς χωρίοις. Καὶ πάλιν τῇ ὑστεραίᾳ ἐθύετο.

3. Προέτρεχεν ἀπὸ τοῦ δένδρου. Προσέτρεχον δύο νεανίσκω. Μετεπέμπετο τὸν Κλέαρχον. Καὶ ἄλλοι ἐπὶ τὰς οἰκίας ἀνέβαινον. Κατέβαινεν εἰς πεδίον. Ἐπεὶ δ' ἡμέρα ὑπέφαινεν, ἐπορεύοντο σιγῇ. Προσέβαλλον πρὸς τὸ χωρίον. Οἱ στρατιῶται ἀπέλειπον αὐτούς. Οἱ δὲ ἄδικοι ἐπεβούλευον. Καὶ προσέβαλλον πρὸς τοὺς ὁπλίτας ἀσφαλῶς.

4. Δεξιὰν ἔλαβον. Ἔλαβον τῆς ζώνης τὸν Ὁρόντην ἐπὶ θανάτῳ. Πληγὰς ἐνέβαλεν. Ὀκτὼ μόνους κατέλιπον. Διέβαινον τὴν γέφυραν. Αὐτὸς ἐπεβούλευεν. Ὡς δ' ἡ τροπὴ ἐγένετο, διασπείρονται καὶ οἱ Κύρου ἑξακόσιοι. Λέγεται τῆς τελευτῆς τυχεῖν. Ἀλλὰ φυγῇ ἄλλος ἄλλῃ ἐτράπετο. Ἀπέθανεν ὑπὸ Νικάνδρου. Διαλαμβάνουσι τὸ ἀπὸ τῶν αἰχμαλώτων ἀργύριον γενόμενον.

VII.

1. Ἀσιδάτης ἐστὶν ἐν τῷ πεδίῳ. Ἕτοιμός εἰμι. Ἠλίθιοί ἐσμεν. Ἄνθρωπός εἰμι. Ἐλέγοντο δὲ οἱ Χαλδαῖοι ἐλεύθεροί τε καὶ ἄλκιμοι εἶναι. Ἐνταῦθα ἦν παρὰ

(L. 1.) IV. 7. 4. (2.) VI. 5. 29: I. 2. 2. (3.) VII. 6. 33. (4.) I. 6. 1: II. 3. 4. (6.) I. 10. 16: II. 1. 1. (7.) I. 4. 12. (8.) II. 5. 31. (9.) III. 4. 18. (10.) IV. 2. 13. (11.) VII. 8. 2: V. 4. 2. (12.) VI. 4. 20. (13.) IV. 7. 10; 3. 10. (14.) I. 3. 8: V. 2. 22. (15.) I. 2. 22: IV. 2. 7. (16.) V. 2. 4. (17.) VI. 5. 4: II. 6. 20. (18.) VI. 3. 7. (20.) I. 6. 6; 6. 10. (21.) I. 5. 11: VI. 3. 5. (22.) II. 4. 24: V. 6. 29: I. 8. 25. (24.) II. 6. 29: IV. 8. 19. (25.) V. 1. 15; 3. 4. (27.) VII. 8. 9: IV. 6. 17. (28.) II. 5. 21: VI. 1. 26: IV. 3. 4. (29.) I. 2. 13.

Digitized by Google

τὴν ὁδὸν κρήνη. Ἦν γὰρ ἡ πάροδος στενή. Ἐμπόριον δ' ἦν τὸ χωρίον. Ἀγωνοθέται δ' οἱ θεοί εἰσιν.

2. Ἐνταῦθα ἦσαν κῶμαι. Οὕτω δὲ ἔχει. Φίλος τε καὶ σύμμαχος εἶναι βούλεται. Καὶ οἱ μὲν στρατηγοὶ ἐπυνθάνοντο περὶ τοῦ Σεύθου, πότερα πολέμιος εἴη ἢ φίλος. Ἐλέγετο δὲ ὁ στόλος εἶναι εἰς Πεισίδας. Παρῆν δὲ καὶ Χειρίσοφος ὁ Λακεδαιμόνιος. Καὶ τὴν ὁδὸν ἔφραζεν, ᾗ εἴη.

3. Ὑποψίαι μὲν ἦσαν. Ἦν δὲ παρὰ τὸν Εὐφράτην πάροδος στενὴ μεταξὺ τοῦ ποταμοῦ καὶ τῆς τάφρου. Ἀνάγκη ἐστὶ μάχεσθαι. Ἡνίκα δ' ἦν δείλη, ἐξαπίνης οἱ πολέμιοι ἐπιφαίνονται ἐν τῷ πεδίῳ. Ἐπεὶ δὲ ὄρθρος ἦν, ἔρχεται πρὸς τὸν Χειρίσοφον. Ἐπεὶ δ' ἡμέρα ἦν ὀγδόη. Καὶ ἦν μὲν σκότος ἤδη. Μέχρι σκότος ἐγένετο. Οὐ γὰρ ἦν χόρτος. Οὐ γὰρ ἔστι πλοῖα. Ἀκούω δὲ, κώμας εἶναι καλάς. Ἔνθα δὴ πάλιν ἀθυμία ἦν.

4. Ἐνταῦθα Κύρῳ βασίλεια ἦν καὶ παράδεισος. Τοῖς δὲ ὑποψία μὲν ἦν. Ἀπὸ τοῦ αὐτομάτου δρόμος ἐγένετο τοῖς στρατιώταις ἐπὶ τὰς σκηνάς. Ἦν αὐτῷ πόλεμος πρὸς Πεισίδας καὶ Μυσούς.

5. Ὀψὲ γὰρ ἦν. Ἤδη δὲ καὶ ὀψὲ ἦν. Ὀψὲ ἐγίγνετο. Καὶ ἤδη μὲν ἀμφὶ ἡλίου δυσμὰς ἦν. Ἥλιος ἐδύετο. Ἐπεὶ δὲ πρὸς ἡμέραν ἦν.

6. Ἔστι λαμβάνειν. Οὐκ ἦν λαβεῖν. Ἔξεστι περὶ αὐτοῦ ψεύδεσθαι. Τὰ γὰρ ἐπιτήδεια οὐκ ἔστιν ἔχειν.

7. Ὥρα δὲ βουλεύεσθαι. Ἀνάγκη δὲ πορεύεσθαι ἤδη. Καὶ ἀνάγκη μάχεσθαι. Ὥρα λέγειν. Σχολὴ τοῖς πολεμίοις ληΐζεσθαι. Τοῦ δὲ κύκλου ἡ περίοδος ἓξ παρασάγγαι.

(L. 1.) I. 4. 4; 4. 6. (2.) III. 1. 21. (3.) I. 4. 19: V. 6. 12: VII. 6. 3. (4.) VII. 1. 14. (6.) III. 1. 9: I. 4. 3. (7.) IV. 5. 34. (9.) II. 5. 1: I. 7. 15. (11.) IV. 6. 10: III. 5. 2. (12.) IV. 3. 8. (13.) IV. 6. 1. (14.) IV. 5. 17; 2. 4: I. 5. 5. (15.) VI. 4. 12: III. 2. 34. (16.) III. 3. 11. (17.) I. 2. 7; 3. 21. (18.) I. 2. 17. (19.) I. 9. 14. (21.) VI. 5. 31: II. 2. 16: III. 4. 36. (22.) VI. 4. 26: I. 10. 15. (23.) IV. 5. 21. (24.) I. 5. 3; 5 2: II. 6. 28. (25.) II. 2. 3. (27.) IV. 6. 7: VI. 4. 12. (28.) VI. 4. 21: I. 3. 12: V. 1. 9. (29.) III. 4. 11.

Digitized by Google

VIII.

1. Σὺ λέγεις. Συμβουλεύω ἐγώ. Συμβουλεύω ὑμῖν. Ἡμεῖς οἰόμεθα. Οὐκ οὕτως ἡμεῖς, ὦ Κλέαρχε, οὔτε ἀλόγιστοι οὔτε ἠλίθιοι ἐσμεν. Ὑμεῖς γάρ ἐστε στρατηγοι, ὑμεῖς ταξίαρχοι καὶ λοχᾱγοί. Ἀπόπεμπε δὲ ἡμᾶς. Ὑμεῖς ἐμοὶ οὐ θέλετε πείθεσθαι οὐδὲ ἕπεσθαι. Ἕπεσθαι ὑμῖν βούλομαι. Σὺ ἐμοὶ ἐπιβουλεύεις καὶ τῇ σὺν ἐμοὶ στρατιᾷ. Πλοῖα δὲ ἡμεῖς οὐκ ἔχομεν. Ὑμεῖς ἐπὶ τὴν ἡμετέραν χώραν ἔρχεσθε. Ἦ μηκέτι με Κῦρον νομίζετε.

2. Αὐτὸς ἐπεβούλευε διαβάλλειν με πρὸς ὑμᾶς. Δέομαι ὑμῶν στρατεύεσθαι σὺν ἐμοί. Σχολὴ τοῖς πολεμίοις λῃΐζεσθαι· καὶ δικαίως ἡμῖν ἐπιβουλεύουσιν, ἔχομεν γὰρ τὰ ἐκείνων. Καὶ νῦν ἔξεστιν ὑμῖν πιστὰ λαβεῖν παρ' ἡμῶν. Ὁ αὐτὸς ὑμῖν στόλος ἐστὶ καὶ ἡμῖν. Μὴ ἀναμένωμεν ἄλλους ἐφ' ἡμᾶς ἐλθεῖν.

3. Ἀφιππεύει ἐπὶ τὴν ἑαυτοῦ σκηνήν. Ποίαν δ' ἡλικίαν ἐμαυτῷ ἐλθεῖν ἀναμένω; Ὥρα ἡμῖν βουλεύεσθαι ὑπὲρ ἡμῶν αὐτῶν. Ἐφυλάττοντο δὲ ἀμφότεροι ὥσπερ πολεμίους ἀλλήλους. Πληγὰς ἐνέτειναν ἀλλήλοις. Οὐ γὰρ ἔγωγ' ἔτι ἄρχω, ἀλλὰ Λακεδαιμόνιοι.

IX.

1. Ἀθυμότερος ἦν. Ἦσαν πολὺ προθυμότεροι. Βασιλικώτατός τε καὶ ἄρχειν ἀξιώτατος. Ὦ θαυμασιώτατε ἄνθρωπε. Φοβερώτατον δ' ἐρημία. Φεύγειν αὐτοῖς ἀσφαλέστερόν ἐστιν, ἢ ἡμῖν. Καὶ θρασύτερός εἰμι νῦν ἢ τότε. Οἱ δὲ στρατιῶται ἔκοπτόν τε τὰς πύλας, καὶ ἔλεγον, ὅτι ἀδικώτατα πάσχοιεν ἐκβαλλόμενοι εἰς τοὺς πολεμίους.

2. Ὦ κάκιστε ἀνθρώπων Ἀριαῖε, καὶ οἱ ἄλλοι ὅσοι ἦτε

(1.) I. 1.) II. 1. 20: I. 6. 9: II. 3. 20. (2.) II. 1. 20; 5. 21. (3.) III. 1. 37. (4.) VII. 7. 51. (5.) I. 3. 6: III. 1. 25. (6.) II. 5. 25. (7.) II. 2. 3: IV. 8. 6. (8.) I. 4. 16. (9.) V. 6. 29: VII. 3. 10. (10.) V. 1. 9. (12.) II. 3. 26. (13.) II. 2. 10: III. 1. 24. (15.) I. 5. 12: III. 1. 14. (16.) V. 7. 12. (17.) II. 4. 10. (18.) II. 4. 11: VII. 7. 10. (20.) I. 4. 9; 7. 8; 9. 1. (21.) III. 1. 27. (22.) II. 5. 9: III. 2. 19. (23.) V. 8. 19. (24.) VII. 1. 16. (27.) II. 5. 39.

Digitized by Google

Κύρου φίλοι, οὐκ αἰσχύνεσθε οὔτε θεοὺς οὔτ' ἀνθρώπους, Ἐντεῦθεν Κῦρος τὴν Κίλισσαν εἰς τὴν Κιλικίαν ἀποπέμπει τὴν ταχίστην ὁδόν. Ἄδειπνοι ἦσαν οἱ πλεῖστοι.

3. Ὁ Κῦρος σὺν τοῖς περὶ αὐτὸν ἀρίστοις καὶ εὐδαιμονεστάτοις. Ἄξιοί εἰσι τὰ ἔσχατα παθεῖν. Τὰ βέλτιστα ξυμβουλεύειν. Πρῶτον μὲν γὰρ καὶ μέγιστον, οἱ θεῶν ἡμᾶς ὅρκοι κωλύουσι πολεμίους εἶναι ἀλλήλοις. Πλησιαίτατος γὰρ ἦν.

4. Ἀνωτέρω τῶν μαστῶν. Πολὺ γὰρ τῶν ἵππων ἔτρεχον θᾶττον. Εἰς τὰς ἐγγυτάτω κώμας. Ἐγγύτερον ἐγίγνοντο. Πολὺ δὲ μᾶλλον ὁ Κλέαρχος ἔσπευδεν. Τῇ ὑστεραίᾳ Κῦρος ἐπορεύετο ἠμελημένως μᾶλλον.

X.

1. Ἐγὼ ὑφ' ὑμῶν τιμῶμαι. Ὁρᾷ ἀετόν. Ἡμεῖς γε νικῶμεν. Πολλαπλασίους ὑμῶν αὐτῶν ἐνικᾶτε σὺν τοῖς θεοῖς. Τῷ Κλεάρχῳ ἐβόα. Ἐβόα καὶ βαρβαρικῶς καὶ Ἑλληνικῶς. Ἐντεῦθεν ἐπειρῶντο εἰσβάλλειν εἰς τὴν Κιλικίαν· ἡ δὲ εἰσβολὴ ἦν ὁδὸς ἁμαξιτὸς, ὀρθία ἰσχυρῶς. Πειράσθω νικᾶν. Ἔλεγε τῷ Σεύθῃ, ὅτι ἐν πονηροῖς τόποις σκηνῷεν, καὶ πλησίον εἶεν οἱ πολέμιοι.

2. Οἱ στρατιῶται φέρουσι λίθους, καὶ ποιοῦσι κολωνόν. Ὁ ποταμὸς καλεῖται Μαρσύας. Διὰ μέσου δὲ τοῦ παραδείσου ῥεῖ ὁ Μαίανδρος ποταμός. Ἡμᾶς δὲ ἀποστερεῖ τὸν μισθόν. Κῦρον αἰτεῖν πλοῖα.

3. Ἐνταῦθα ἀφικνεῖται Ἐπύαξα. Λίθους εἰς τὸν ποταμὸν ἐῤῥίπτουν. Ἐφοβοῦντο αὐτόν. Ὡς αὐτὸς σὺ ὁμολογεῖς. Αὐτός εἰμι, ὃν ζητεῖς. Ἐμοὶ οὖν δοκεῖ οὐχ ὥρα εἶναι ἡμῖν καθεύδειν, οὐδ' ἀμελεῖν ἡμῶν αὐτῶν. Ὁ Κῦρος συλλαμβάνει Ὀρόντην, καὶ συγκαλεῖ εἰς τὴν ἑαυτοῦ σκηνὴν Περσῶν τοὺς ἀρίστους τῶν περὶ αὐτὸν ἑπτά.

(L. 2.) I. 2. 20. (3.) I. 10. 19. (4.) I. 5. 7. (5.) II. 5. 24: V. 6. 2. (6.) II. 5. 7. (7.) I. 10. 5. (9.) I. 4. 17; 5. 2. (10.) II. 2. 16: I. 8. 8. (11.) II. 3. 13: I. 7. 19. (13.) V. 7. 10: VI. 5. 2: II. 1. 4. (14.) III. 2. 14. (15.) I. 8. 12; 8. 1. (16.) I. 2. 21. (18.) III. 2. 39: VII. 4. 12. (20.) IV. 7. 25. (21.) I. 2. 8; 2. 7. (22.) VII. 6. 9. (23.) I. 3. 14. (24.) I. 2. 12: IV. 8 3. (25.) I. 9. 9; 6. 7. (26.) II. 4. 16: I. 3. 11. (27.) I. 6. 4.

Digitized by Google

4. Ἀπαγγέλλετε τοίνυν αὐτῷ, ὅτι μάχης δεῖ πρῶτον. Ἡδέως ἐπόνουν, καὶ θαῤῥαλέως ἐκτῶντο. Σκηνοῦμεν ὑπαίθριοι. Χειρίσοφος μὲν ἡγείσθω, ἐπειδὴ καὶ Λακεδαιμόνιός ἐστιν. Οὐ δικαίως γ' ἄν μοι φθονοῖεν. Ἔνθα Κῦρος αἰδημονέστατος μὲν πρῶτον τῶν ἡλικιωτῶν ἐδόκει εἶναι, τοῖς τε πρεσβυτέροις καὶ τῶν ἑαυτοῦ ὑποδεεστέρων μᾶλλον πείθεσθαι· ἔπειτα δὲ φιλιππότατος, καὶ τοῖς ἵπποις ἄριστα χρῆσθαι.

5. Ἀξιοῦμεν. Οἱ κράτιστοι ἄρχειν ἀξιοῦνται. Ἀξιοῦν. Ἐχίλου τοὺς ἵππους. Ἐσπουδαιολογεῖτο, ὡς δηλοίη οὓς τιμᾷ.

6. Τοῦ δὲ λόγου ἤρχετο ὧδε. Ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου. Ὠργίζοντο ἰσχῡρῶς τῷ Κλεάρχῳ. Καὶ ἠρώτα αὐτὸν, πόσον χρυσίον ἔχει. Οἱ λοχᾱγοὶ πάλιν συνῆλθον. Οὐκ ἐθέλω ἐλθεῖν. Καὶ παρελθεῖν οὐκ ἦν βίᾳ· ἦν γὰρ ἡ πάροδος στενή. Ἀπήγγελλε δὲ, ὅτι ἐπαινοίη αὐτοὺς καὶ Ἀναξίβιος ὁ ναύαρχος καὶ οἱ ἄλλοι.

7. Τῇ δ' ὑστεραίᾳ ἦκεν ἄγγελος. Κῦρος δὲ οὔπω ἦκεν, ἀλλ' ἔτι προσήλαυνεν. Χωρία γὰρ ᾤκουν ἰσχῡρὰ οἱ Τάοχοι. Εἴκαζον δὲ ἄλλοι ἄλλως. Οἱ μὲν ᾤχοντο, Κλέαρχος δὲ περιέμενεν. Εὑρίσκετο δὲ καὶ νεῦρα πολλὰ ἐν ταῖς κώμαις καὶ μόλυβδος· ὥστε χρῆσθαι εἰς τὰς σφενδόνας. Οὗ ᾤετο πιστόν οἱ εἶναι, ταχὺ αὐτὸν εὗρε Κύρῳ φιλαίτερον, ἢ ἑαυτῷ. Ἐπεὶ δὲ ἀφίκοντο εἰς τὸ αὐτὸ, ἄσμενοί τε εἶδον ἀλλήλους, καὶ ἠσπάζοντο ὥσπερ ἀδελφούς.

8. Οὐκ ἀνέῳγον τὰς πύλας. Ἐώρα αὐτούς. Καὶ ἄλλος ἄλλον εἵλκεν. Εἷα Κῦρος. Συνήγαγεν ἐκκλησίαν τῶν αὐτοῦ στρατιωτῶν. Ὤφελε μὲν Κῦρος ζῆν. Ἐλέγοντο δὲ οἱ Χαλδαῖοι ἐλεύθεροί τε καὶ ἄλκιμοι εἶναι· ὅπλα δ' εἶχον γέῤῥα μακρὰ καὶ λόγχας.

(L. 1.) II. 3. 5. (2.) I. 9. 19: V. 5. 21. (3.) III. 2. 37. (4.) V. 7. 10: I. 9. 5. (9.) V. 5. 9.: IV. 6. 16: I. 3. 19. (10.) VII. 2. 21: I. 9. 28. (12.) III. 2. 7: I. 1. 1. (13.) I. 5. 11. (14.) VII. 8. 1: III. 5. 14. (15.) I. 3. 10; 4. 4. (16.) VI. 1. 16. (19.) I. 2. 21; 5. 12. (20.) IV. 7. 1. (21.) I. 6. 11: II. 1. 6. (22.) III. 4. 17. (24.) I. 9. 29. (25.) VI. 3. 24. (28.) V. 5. 20: VI. 6. 35: V. 2. 15. (29.) I. 4. 7; 3. 2. (30.) II. 1. 4: IV. 3. 4.

Digitized by Google

9. Καὶ οὗτοι μὲν ἔμενον, οἱ δ' ἄλλοι ἐπορεύοντο. Νόμος γὰρ ἦν οὕτός σφισιν. Ταύτην δὴ τὴν πάροδον Κῦρός τε καὶ ἡ στρατιὰ παρῆλθε, καὶ ἐγένοντο εἴσω τῆς τάφρου. Τούτω ἀπεθανέτην. Τοῦτο ἔστω. Καὶ κελεύει αὐτοὺς λέγειν ταῦτα τοῖς στρατιώταις, καὶ ἀναπείθειν ἕπεσθαι.

10. Τοσοῦτοι δ' εἰσὶ ποταμοί. Οὗτος μὲν δὴ τοιαῦτα εἶπε· μετὰ δὲ τοῦτον Κλέαρχος εἶπε τοσοῦτον. Τοιαύτην ἔχετε γνώμην περὶ ἐμοῦ. Καὶ οἱ στρατιῶται ταὐτὰ ἐβούλοντο. Οὗτος δὲ ὁ αὐτὸς κελεύει.

11. Καὶ ἄνεμος βορρᾶς ἐναντίος ἔπνει. Καὶ λέγετε, ὅταν βορρᾶς πνέῃ, ὡς καλοὶ πλοῖ εἰσιν. Εὔνοι ἦσαν. Ἡγεῖτο δ' αὐτῶν Ταμὼς Αἰγύπτιος ἐξ Ἐφέσου. Ἐπειδὴ δὲ ἕως ἐγένετο, διέβαινον τὴν γέφῦραν. Ὡς τάχιστα ἕως ὑπέφαινεν, ἐθύοντο. Ἦν οἱ θεοὶ ἵλεῳ ὦσιν.

XI.

1. Ἡμεῖς ἐκεῖ πρὸς ταῦτα βουλευσόμεθα. Ἐπειδὰν ἐκεῖσε ἔλθωμεν, βουλευσόμεθα. Σὺ οὖν, πρὸς θεῶν, συμβούλευσον ἡμῖν. Οἱ Σκύθαι τοξόται ἐτόξευσαν. Ὁ Ἀναξίβιος ἔκλεισε τὰς πύλας. Ἡμᾶς Βυζαντίου ἀποκλείσει. Ἐκάλεσε τοὺς ἀγγέλους. Κλέαρχον δὲ καὶ εἴσω παρεκάλεσε σύμβουλον. Ἀκούσατε οὖν μου, πρὸς θεῶν. Ἥδιστ' ἂν ἀκούσαιμι.

2. Ἔπεμψέ με Ἀριαῖος. Πέμψατε αὐτοὺς δεῦρο. Συνέπεμψεν αὐτῇ στρατιώτας. Πρόξενος αὐτὸν μετεπέμψατο. Ἕψονται Κύρῳ. Ἐγὼ δὲ αὐτίκα ἥξω. Ἀλλὰ, μὰ τοὺς θεούς, οὐκ ἔγωγε αὐτοὺς διώξω. Ἐκεῖνος λέγει, ὅτι ἄξει αὐτοὺς πέντε ἡμερῶν εἰς χωρίον, ὅθεν ὄψονται θάλατταν. Διατρίψομεν τὴν τήμερον ἡμέραν. Οὐκ ἀμαχεὶ ταῦτ' ἐγὼ λήψομαι. Καὶ εἰς φυγὴν ἔτρεψε

(L. 1.) VI. 5. 4: V. 4. 33. (2.) I. 7. 16. (4.) II. 6. 30: I. 8. 17; 4. 11. (6.) II. 5. 18: I. 3. 14. (7.) VII. 6. 35. (8.) VII. 2. 2. (9.) VII. 3. 3. (10.) IV. 5. 3: V. 7. 7. (11.) II. 6. 20. (12.) I. 4. 2: II. 4. 24. (13.) IV. 3. 9. (14) VI. 6. 32. (15.) I. 3. 20: VI. 1. 33. (16.) II. 1. 17. (17.) III. 4. 15: VII. 1. 36. (18.) VI. 6. 13. (19.) II. 3. 3: I. 6. 5. (20.) V. 7. 5. (21.) II. 5. 15. (22.) II. 4. 16; 5. 41. (23.) I. 2. 20: III. 1. 4. (24.) I. 4. 13: II. 1. 9. (25.) I. 4. 8: IV. 7. 20. (27.) IV. 6. 9. (28.) I. 7, 9; 8. 24.

Digitized by Google

τοὺς ἑξακισχιλίους. Ἔπεμψεν ἡμᾶς ἡ στρατιὰ πρός σε, ὦ Κλέανδρε.

3. Εὖ τε λέγετε, καὶ ποιήσω ταῦτα. Ὁ δὲ αὐτῷ λέγει· "Μὴ ποιήσῃς ταῦτα." Ἡγήσομαι δὲ αὐτὸς ἐγώ. Καὶ σοὶ αὖ δηλώσω, ὅθεν ἐγὼ περὶ σοῦ ἀκούω. Κῦρον δὲ μεταπέμπεται ἀπὸ τῆς ἀρχῆς, ἧς αὐτὸν σατράπην ἐποίησεν. Ἔψονται ὑμῖν, καὶ πειράσονται μιμεῖσθαι. Ἐνταῦθα Τισσαφέρνης καὶ οἱ σὺν αὐτῷ καίειν ἐπεχείρησαν τὰς κώμας. Ἀλλὰ τούτους μὲν οἱ θεοὶ ἀποτίσαιντο. Ἀκούω, Δέξιππον λέγειν πρὸς Κλέανδρον, ὡς οὐκ ἂν ἐποίησεν Ἀγασίας ταῦτα, εἰ μὴ ἐγὼ αὐτὸν ἐκέλευσα.

4. Εἶπεν οὖν Σεύθης· "Ὀρθῶς τε λέγετε, καὶ ἐγὼ τῷ νόμῳ τῷ ὑμετέρῳ πείσομαι." Ἐθήρευεν ἀπὸ ἵππου, ὁπότε γυμνάσαι βούλοιτο ἑαυτόν τε καὶ τοὺς ἵππους.

5. Ὁ δὲ πλοῦς ἔσται εἰς Ἡράκλειαν. Χαλεπὸν ἔσται καὶ μένειν καὶ ἀποπλεῖν· καὶ γὰρ ἐν τῇ γῇ ἄρχουσι Λακεδαιμόνιοι καὶ ἐν τῇ θαλάττῃ τὸν νῦν χρόνον.

6. Ἐκποριοῦσι τῇ στρατιᾷ μισθόν. Οὐ δυνήσεται ταχέως πορεύεσθαι· ἴσως δὲ καὶ τῶν ἐπιτηδείων σπανιεῖ. Ὥρα δὲ βουλεύεσθαι, ὅπως ὡς κάλλιστα ἀγωνιούμεθα. Τμᾶς, ὁπόταν γαλήνη ᾖ, ἐμβιβῶ. Οὐ μαχεῖται δέκα ἡμερῶν. Ἡσπάζετο αὐτὸν, ὡς ἀποπλευσούμενος ἤδη.

7. Μυρίους ἔδωκε δαρεικούς. Κῦρος δ' εἶπεν, "Οὐκ ἄρα ἔτι μαχεῖται, εἰ ἐν ταύταις οὐ μαχεῖται ταῖς ἡμέραις· ἐὰν δ' ἀληθεύσῃς, ὑπισχνοῦμαί σοι δέκα τάλαντα." Τοῦτο τὸ χρυσίον τότε ἀπέδωκεν, ἐπεὶ παρῆλθον αἱ δέκα ἡμέραι.

XII.

1. Εἶχον δὲ θώρᾱκας λινοῦς. Κήρῡκας ἔπεμψε περὶ σπονδῶν. Πρὸς τοὺς Θρᾷκας ἐπολέμησα. Ἡ γυνὴ αὐτὸν ἔπεισεν. Καὶ πέμπουσι Καλλίμαχον Ἀρκάδα.

(L. 1.) VI. 6. 20. (3.) VII. 1. 22; 1. 8. (4.) V. 6. 24. (5.) II. 5. 26: I. 1. 2. (7.) III. 1. 36. (8.) III. 5. 3. (9.) III. 2. 6. (10.) VI. 6. 15. (12.) VII. 3 39. (13.) I. 2. 7. (15.) VI. 1. 33; 6. 13. (18.) V. 6. 19: II. 2. 12. (20.) IV. 6. 7. (21.) V. 7. 8: I. 7. 18. (22.) VII. 1. 8. (23.) I. 3. 3; 7. 18. (28.) IV. 7. 15: II. 3. 1. (29.) I. 3. 4; 2. 26. (30.) V. 6. 14.

Digitized by Google

Καὶ τοῦτο ἐννοήσατε, ὅτι ἐπὶ ταῖς θύραις τῆς Ἑλλάδος ἐσμέν. Τὰ δὲ ἆθλα ἦσαν στλεγγίδες χρυσαῖ. Ὅτε δὲ ταῦτα ἦν, σχεδὸν μέσαι ἦσαν νύκτες.

2. Δαρείου καὶ Παρυσάτιδος γίγνονται παῖδες δύο, πρεσβύτερος μὲν Ἀρταξέρξης, νεώτερος δὲ Κῦρος. Ἐπεὶ δὲ ἠσθένει Δαρεῖος καὶ ὑπώπτευε τελευτὴν τοῦ βίου, ἐβούλετο τὼ παῖδε ἀμφοτέρω παρεῖναι.

3. Ἔπλεον ἡμέραν καὶ νύκτα πνεύματι καλῷ. Τὸ δὲ στράτευμα ὁ σῖτος ἐπέλιπεν. Ἥδιστ' ἂν ἀκούσαιμι τὸ ὄνομα. Ἐπεὶ δὲ τοῦτο ἐγένετο, ἔρχονται πρὸς ἡμᾶς οἱ Κερασούντιοι, καὶ λέγουσι τὸ πρᾶγμα. Ταῖς ἄσπισι πρὸς τὰ δόρατα ἐδούπησαν. Τὸ γὰρ ἐπίχαρι οὐκ εἶχεν, ἀλλ' ἀεὶ χαλεπὸς ἦν καὶ ὠμός.

4. Καὶ οἱ ἄλλοι μὲν λοχᾶγοὶ συνῆλθον, οἱ μὲν σὺν πράγμασιν, οἱ δὲ ἄνευ πραγμάτων· οἱ δὲ Θρᾷκες, ἐπεὶ εὐτύχησαν τοῦτο τὸ εὐτύχημα, συνεβόων τε ἀλλήλους, καὶ συνελέγοντο ἐῤῥωμένως τῆς νυκτός.

XIII.

1. Ταῦτα ἐγὼ ἀπαγγελῶ. Ὁ δὲ πάλιν ἠρώτησε· "Σπονδὰς ἢ πόλεμον ἀπαγγελῶ;" Ἐνταῦθα ἔμεινε Κῦρος ἡμέρας τριάκοντα· καὶ ἦκε Κλέαρχος ὁ Λακεδαιμόνιος φυγάς. Ταχύ τοι ὑμῖν ἀποκρινοῦμαι. Ἀπεκρίνατο Κλέαρχος. Καὶ ἐν ταύτῃ τῇ Ἁρμήνῃ ἔμειναν οἱ στρατιῶται ἡμέρας πέντε. Οὐκ ἔμειναν τοὺς ὁπλίτας.

2. Καὶ ἀποβαίνουσιν εἰς Κάλπης λιμένα, κατὰ μέσον πως τῆς Θρᾴκης. Οἱ δὲ Ἕλληνες σὺν γέλωτι ἐπὶ τὰς σκηνὰς ἦλθον. Καὶ λέγει, ὅτι δαρεικὸς ἑκάστῳ ἔσται μισθὸς τοῦ μηνός. Δαρεικὸν ἕκαστος οἴσει τοῦ μηνὸς ὑμῶν· λοχᾶγὸς δὲ τὸ διπλοῦν· στρατηγὸς δὲ τὸ τετραπλοῦν. Ὑμῶν δὲ τῶν Ἑλλήνων καὶ στέφανον ἑκάστῳ χρυσοῦν δώσω.

(L. 1.) VI. 5. 23. (2.) I. 2. 10: III. 1. 33. (4.) I. 1. 1. (8.) VI. 1. 14: I. 5. 6. (9.) II. 5. 15. (10.) V. 7. 20. (11.) I. 8. 13. (12.) II. 6. 12. (14.) VI. 3. 6. (18.) II. 3. 24; 1. 23. (19.) I. 2. 9. (21.) VI. 6. 34: II. 1. 22. (22.) VI. 1. 17. (23.) IV. 4. 20. (24.) VI. 2. 17. (25.) I. 2. 18. (26.) VII. 6. 1. (27.) VII. 6. 7. (29.) I. 7. 7.

Digitized by Google

3. Δύο λόχοι τοῦ Μένωνος στρατεύματος ἀπώλοντο. Εὐθὺς μεταπέμπεται ἐκ Χαλκηδόνος φρουρούς. Ἡγεμόνα αἰτεῖν Κῦρον. Τῇ δὲ ὑστεραίᾳ ἄνευ ἡγεμόνος ἐπορεύοντο. Ἔλεγε δὲ Κλεάνωρ. Ἐνταῦθα δὴ Κύρου ἀποτέμνεται ἡ κεφαλὴ καὶ χεὶρ ἡ δεξιά. Ἔπεμψας πρὸς ἐμέ, ὦ Σεύθη, εἰς Χαλκηδόνα πρῶτον Μηδοσάδην τουτονί. Καὶ ἐκέλευε Κλέαρχον μὲν τοῦ δεξιοῦ κέρως ἡγεῖσθαι, Μένωνα δὲ τὸν Θετταλὸν τοῦ εὐωνύμου· αὐτὸς δὲ τοὺς ἑαυτοῦ διέταξεν.

4. Πατέρα ἐμὲ ἐκαλεῖτε. Παρύσατις μὲν δὴ ἡ μήτηρ ὑπῆρχε τῷ Κύρῳ. Τὸν ἄνδρα ὁρῶ. Ἐγὼ, ὦ ἄνδρες Ἕλληνες, γείτων οἰκῶ τῇ Ἑλλάδι. Ἐνταῦθα λέγεται Ἀπόλλων ἐκδεῖραι Μαρσύαν. Ζῇ ὁ ἀνήρ. Ταῦτα οἱ στρατηγοὶ Κύρῳ ἀπήγγελλον· ὁ δ' ὑπέσχετο, ἀνδρὶ ἑκάστῳ δώσειν πέντε ἀργυρίου μνᾶς, ἐπὰν εἰς Βαβυλῶνα ἥκωσιν.

5. Τέτταρα στάδια διειχέτην τὼ φάλαγγε ἀπ' ἀλλήλων. Ὦ Κῦρε, λέγουσί τινες. Ἐννυκτέρευσαν ἄσῖτοι καὶ ἄνευ πυρός· καὶ ἐνταῦθά τινες ἀπώλοντο τῶν στρατιωτῶν. Στρουθὸν δὲ οὐδεὶς ἔλαβεν. Ὑποψίαι μὲν ἦσαν, φανερὰ δὲ οὐδεμία ἐφαίνετο ἐπιβουλή. Οὐδεὶς ἡμάρτανεν ἀνδρός. Μηδεὶς ὑμῶν λεγέτω. Ἠδικήσαμεν τοῦτον οὐδέν.

6. Τίς οὕτω μαίνεται, ὅστις οὐ βούλεταί σοι φίλος εἶναι; Πρὶν δῆλον εἶναι, ὅ τι οἱ ἄλλοι Ἕλληνες ἀποκρινοῦνται Κύρῳ. Μένων δὲ, πρὶν δῆλον εἶναι, τί ποιήσουσιν οἱ ἄλλοι στρατιῶται, πότερον ἕψονται Κύρῳ ἢ οὔ, συνέλεξε τὸ αὐτοῦ στράτευμα χωρὶς τῶν ἄλλων, καὶ ἔλεξε τάδε. Εἰπὲ, τίνα γνώμην ἔχεις περὶ τῆς πορείας.

7. Λέξατε οὖν πρός με, τί ἐν νῷ ἔχετε, ὡς φίλον τε καὶ εὔνουν, καὶ βουλόμενον κοινῇ σὺν ὑμῖν τὸν στόλον ποιεῖσθαι. Αὗται ἠρώτων αὐτούς, τίνες εἶεν. Σὺ οὖν, πρὸς θεῶν, συμβούλευσον ἡμῖν, ὅ τι σοι δοκεῖ κάλλιστον

(L. 1.) I. 2. 25. (2.) VII. 1. 20: I. 3. 14. (3.) IV. 2. 24. (4.) II. 5. 39: I. 10. 1. (5.) VII. 2. 24. (6.) I. 7. 1. (9.) VII. 6. 33: I. 1. 4. (10.) I. 8. 26: II. 3. 18. (11.) I. 2. 8. (12.) V. 8. 10: I. 4. 13. (16.) I. 8. 17. (17.) I. 7. 5: IV. 5. 11. (19.) I. 5. 3: II. 5. 1. (20.) III. 4. 15. (21.) I. 3. 15: VII. 6. 22. (23.) II. 5. 12. (24.) I. 4. 14. (25.) I. 4. 13. (28.) II. 2. 10. (29.) III. 3. 2. (31.) IV. 5. 10: II. 1. 17.

Digitized by Google

καὶ ἄριστον εἶναι, καὶ ὅ σοι τιμὴν οἴσει εἰς τὸν ἔπειτα χρόνον. Ὅ τι δὲ ποιήσοι, οὐ διεσήμηνεν. Ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω τὴν χεῖρα.

8. Εἰ δέ τις ἄλλο ὁρᾷ βέλτιον, λεξάτω. Ὥστε τῆς ἡμέρας ὅλης διῆλθον οὐ πλέον πέντε καὶ εἴκοσι σταδίων, ἀλλὰ δείλης ἀφίκοντο εἰς τὰς κώμας. Πλείους ἢ δισχίλιοι. Κακίους εἰσὶ περὶ ἡμᾶς, ἢ ἡμεῖς περὶ ἐκείνους.

XIV.

1. Εἰσεδύοντο εἰς τοὺς πόδας οἱ ἱμάντες. Ὁ δὲ Ξενοφῶν τὸν μὲν ἄρχοντα τῆς κώμης ταύτης σύνδειπνον ἐποιήσατο, καὶ θαρρεῖν αὐτὸν ἐκέλευεν.

2. Πάντες οἱ πολῖται καὶ οἱ πρόσχωροι ἄνδρες καὶ γυναῖκες μετεῖχον τῆς ἑορτῆς. Ἦρχον δὲ τότε πάντων τῶν Ἑλλήνων οἱ Λακεδαιμόνιοι. Οὐ γὰρ ἦν χόρτος, οὐδὲ ἄλλο οὐδὲν δένδρον, ἀλλὰ ψιλὴ ἦν ἅπασα ἡ χώρα.

3. Ἀναβαίνει οὖν ὁ Κῦρος, λαβὼν Τισσαφέρνην ὡς φίλον. Οὗτος γὰρ καὶ τὴν πατρίδα καταισχύνει, καὶ πᾶσαν τὴν Ἑλλάδα, ὅτι Ἕλλην ὢν τοιοῦτός ἐστιν. Ὁ μὲν οὖν πρεσβύτερος παρὼν ἐτύγχανεν. Αἱ δὲ πέλται αὐτῶν ἄλλοτε καὶ ἄλλοτε διεφαίνοντο, χαλκαῖ οὖσαι. Ἐπεὶ γὰρ ἡμέρα ἐγένετο, ἐπορεύοντο, ἐν δεξιᾷ ἔχοντες τὸν ἥλιον, λογιζόμενοι ἥξειν ἅμα ἡλίῳ δύνοντι εἰς κώμας τῆς Βαβυλωνίας χώρας. Ἅμα ἡλίῳ ἀνατέλλοντι κήρυκας ἔπεμψε περὶ σπονδῶν.

4. Ἀκούσας δὲ ταῦτα ὁ Φαλῖνος ἐγέλασεν. Ὁ δὲ Κῦρος ὑπολαβὼν τοὺς φεύγοντας, συλλέξας στράτευμα, ἐπολιόρκει Μίλητον καὶ κατὰ γῆν καὶ κατὰ θάλατταν. Καὶ ὃς προσελθὼν τῷ Σεύθῃ δεῖται, μὴ ἀποκτεῖναι τὸν παῖδα. Ὁ δ' ἀνὴρ αὐτῆς λαγὼς ᾤχετο θηράσων. Ἐξέπλει ὡς πολεμήσων τοῖς ὑπὲρ Χερρονήσου καὶ Περίνθου Θρᾳξίν.

(L. 2.) II. 1. 23: III. 2. 38. (4.) III. 2. 38; 3. 11. (6.) I. 3. 7. (7.) I. 4. 8. (8.) IV. 5. 14; 5. 28. (11.) V. 3. 9. (12.) VI. 6. 9. (13.) I. 5. 5. (15.) I. 1. 2. (16.) III. 1. 30. (17.) I. 1. 2. (18.) V. 2. 29. (20.) II. 2. 13. (22.) II. 3. 1. (24.) II. 1. 13: I. 1. 7. (27.) VII. 4. 8. (28.) IV. 5. 24: II. 6. 2.

Digitized by Google

5. Ταύτην μὲν οὖν τὴν ἡμέραν αὐτοῦ ηὐλίζοντο ἐπὶ τοῦ αἰγιαλοῦ πρὸς τῷ λιμένι. Τὸ δὲ χωρίον τοῦτο, ὃ καλεῖται Κάλπης λιμήν, ἔστι μὲν ἐν τῇ Θράκῃ τῇ ἐν τῇ Ἀσίᾳ· ἀρξαμένη δὲ ἡ Θράκη αὕτη ἐστὶν ἀπὸ τοῦ στόματος τοῦ Πόντου μέχρι Ἡρακλείας, ἐπὶ δεξιὰ εἰς τὸν Πόντον εἰσπλέοντι.

6. Νικῶν τυγχάνει. Καὶ ἀριστῶντι τῷ Ξενοφῶντι προσέτρεχον δύο νεανίσκω. Ὅστις τε ζῆν ἐπιθυμεῖ, πειράσθω νικᾶν· τῶν μὲν γὰρ νικώντων τὸ κατακαίνειν, τῶν δὲ ἡττωμένων τὸ ἀποθνήσκειν ἐστίν. Καὶ ἔπεμψέ τινα ἐροῦντα, ὅτι ξυγγενέσθαι αὐτῷ χρήζοι. Συλλαμβάνει Κῦρον ὡς ἀποκτενῶν.

7. Παρύσατις μὲν δὴ ἡ μήτηρ ὑπῆρχε τῷ Κύρῳ, φιλοῦσα αὐτὸν μᾶλλον ἢ τὸν βασιλεύοντα Ἀρταξέρξην. Τὸν δ' ἔμπροσθεν χρόνον ἐκ τῆς νικώσης ἔπραττον πάντα οἱ στρατηγοί.

8. Σὺν ὑμῖν, ὅ τι ἂν δέῃ, πείσομαι. Ὁ δὲ εἶπεν, ὅτι σπείσασθαι βούλοιτο.

XV.

1. Ἐνταῦθα ἦσαν τὰ Βελέσυος βασίλεια, τοῦ Συρίας ἄρξαντος. Ἐπύαξα δὲ, ἡ Συεννέσιος γυνὴ, προτέρα Κύρου πέντε ἡμέραις εἰς Ταρσοὺς ἀφίκετο. Ἔτυχε δὲ διὰ μέσου ῥέων τοῦ χωρίου ποταμὸς Σελῖνοῦς· καὶ ἐν Ἐφέσῳ δὲ παρὰ τὸν τῆς Ἀρτέμιδος νεὼν Σελῖνοῦς ποταμὸς παραῤῥεῖ, καὶ ἰχθύες δὲ ἐν ἀμφοτέροις ἔνεισι καὶ κόγχαι.

2. Ταῦτα δὲ τὰ θηρία οἱ ἱππεῖς ἐνίοτε ἐδίωκον. Δῆλον ἦν, ὅτι ἐγγύς που βασιλεὺς ἦν. Βασιλέα σε ἐποίησαν. Πορεύεται ὡς βασιλέα. Ὁ δ' Ὀρόντης, νομίσας ἑτοίμους εἶναι αὐτῷ τοὺς ἱππέας, γράφει ἐπιστολὴν παρὰ βασιλέα. Καὶ ἐντεῦθεν Σεύθης πέμπει Ἀβροζέλμην τὸν ἑαυτοῦ ἑρμηνέα πρὸς Ξενοφῶντα, καὶ κελεύει αὐτὸν κατα-

(L. 1.) VI. 4. 1. (7.) II. 1. 8: IV. 3. 10. (8.) III. 2. 39. (10.) II. 5. 2. (11.) I. 1. 3. (13.) I. 1. 4. (15.) VI. 1. 18. (17.) 1. 3. 5: IV. 4. 6. (19.) I. 4. 10. (20.) I. 2. 25. (21.) V. 3. 8. (25.) I. 5. 2: II. 3. 6. (26.) VII. 7. 22. (37.) I. 2. 4; 6. 3. (29.) VII. 6. 43

Digitized by Google

μεῖναι παρ' ἑαυτῷ. Σφενδονητῶν τε τὴν ταχίστην δεῖ καὶ ἱππέων.

3. Ἐπεὶ δὲ πάλιν ἦλθε, λέγει τὴν μαντείαν τῷ Σω κράτει. Καὶ ἤδη τε ἦν περὶ πλήθουσαν ἀγορὰν, καὶ ἔρχονται παρὰ βασιλέως καὶ Τισσαφέρνους κήρυκες· οἱ μὲν ἄλλοι βάρβαροι, ἦν δ' αὐτῶν Φαλῖνος εἷς Ἕλλην, ὃς ἐτύγχανε παρὰ Τισσαφέρνει ὢν, καὶ ἐντίμως ἔχων. Ἀλλ' ἕπεσθε ἡγεμόνι τῷ Ἡρακλεῖ, καὶ ἀλλήλους παρακαλεῖτε ὀνομαστί. Ἐν τούτοις τοῖς χωρίοις οἱ Κρῆτες χρησιμώτατοι ἐγένοντο· ἦρχε δὲ αὐτῶν Στρατοκλῆς Κρής. Οἱ στρατηγοὶ τῶν Ἑλλήνων ἐξένιζον τοὺς τῶν Σινωπέων πρέσβεις.

4. Ἐντεῦθεν δὲ ἐξελαύν.. σταθμοὺς δύο, παρασάγγας δέκα, εἰς Θύμβριον, πόλιν οἰκουμένην. Ἐνταῦθα ἦν παρὰ τὴν ὁδὸν κρήνη ἡ Μίδου καλουμένη, τοῦ Φρυγῶν βασιλέως· ἐφ' ᾗ λέγεται Μίδας τὸν Σάτυρον θηρεῦσαι, οἴνῳ κεράσας αὐτήν.

5. Ὁ Κῦρος ἀπέπεμπε τοὺς γιγνομένους δασμοὺς βασιλεῖ ἐκ τῶν πόλεων, ὧν Τισσαφέρνης ἐτύγχανεν ἔχων. Καὶ αὕτη αὖ ἄλλη πρόφασις ἦν αὐτῷ τοῦ ἀθροίζειν στράτευμα. Ἐνταῦθα Κῦρος, Σιλανὸν καλέσας, τὸν Ἀμβρακιώτην μάντιν, ἔδωκεν αὐτῷ δαρεικοὺς τρισχιλίους.

6. Ἦν δὲ τῆς χιόνος τὸ βάθος ὀργυιά. Ἔνθα δὴ οἱ μὲν Καρδοῦχοι, ἐκλιπόντες τὰς οἰκίας, ἔχοντες καὶ γυναῖκας καὶ παῖδας, ἔφευγον ἐπὶ τὰ ὄρη. Τέλος δὲ εἶπεν. Εἶχον δὲ πάντες κράνη χαλκᾶ, καὶ χιτῶνας φοινικοῦς, καὶ κνημῖδας.

7. Τούτου τὸ εὖρος δύο πλέθρα. Ἐνταῦθα ἦσαν τὰ Συεννέσιος βασίλεια, τοῦ Κιλίκων βασιλέως· διὰ μέσης δὲ τῆς πόλεως ῥεῖ ποταμὸς, Κύδνος ὄνομα, εὖρος δύο πλέθρων. Ἀπαγγέλλει, ὅτι φεύγουσιν ἀνὰ κράτος. Ἦν δὲ, ὅτε ἐτελεύτα, ἀμφὶ τὰ πεντήκοντα ἔτη. Ὅτε δὲ ἀπέθνησκεν, ἦν ἐτῶν ὡς τριάκοντα.

(L. 1.) III. 3. 16. (3.) III. 1. 7. (4.) II. 1. 7. (7.) VI. 5. 24. (9.) IV. 2. 28. (10.) V. 5. 25. (13.) I. 2. 13. (18.) I. 1. 8. (20.) I. 1. 7. (21.) I. 7. 18. (23.) IV. 5. 4; I. 8. (25.) II. 3. 26. (26.) I. 2. 16. (28.) I. 2. 5; 2. 23. (31.) I. 10. 15: II. 6. 15. (32.) II 6 20.

Digitized by Google

8. Ἀγίας δὲ ὁ Ἀρκὰς, καὶ Σωκράτης ὁ Ἀχαιὸς, καὶ τούτω ἀπεθανέτην. Τούτων δὲ οὔθ' ὡς ἐν πολέμῳ κακῶν οὐδεὶς κατεγέλα, οὔτ' ἐς φιλίαν αὐτοὺς ἐμέμφετο· ἦστην δὲ ἄμφω ἀμφὶ τὰ πέντε καὶ τριάκοντα ἔτη ἀπὸ γενεᾶς.

9. Ἐν δὲ ταῖς οἰκίαις ἦσαν αἶγες, οἷες, βόες, ὄρνῖθες, καὶ τὰ ἔκγονα τούτων. Ἔνι δ' ἐν τῷ ἱερῷ χώρῳ καὶ λειμὼν καὶ ἄλση καὶ ὄρη δένδρων μεστὰ, ἱκανὰ καὶ σῦς καὶ αἶγας καὶ βοῦς τρέφειν.

10. Ἐντεῦθεν τῇ ὑστεραίᾳ ἀναγόμενοι πνεύματι ἔπλεον καλῷ ἡμέρας δύο παρὰ γῆν. Καὶ παραπλέοντες ἐθεώρουν τήν τ' Ἰασονίαν ἀκτὴν, ἔνθα ἡ Ἀργὼ λέγεται ὁρμίσασθαι, καὶ τῶν ποταμῶν τὰ στόματα.

11. Καὶ ἐν τούτῳ Κλέανδρος ἀφικνεῖται, δύο τριήρεις ἔχων, πλοῖον δ' οὐδέν. Ἀλλὰ ταῦτα μὲν ψευδὴ ἦν. Ἐπεὶ δ' ἦσαν ἀφανεῖς, διῆλθε λόγος, ὅτι διώκει αὐτοὺς Κῦρος τριήρεσιν. Οἱ πολέμιοι ἱππεῖς φεύγουσι κατὰ τοῦ πρανοῦς. Ἐπὶ δὲ τὸ κατεργάζεσθαι ὧν ἐπιθυμοίη, συντομωτάτην ᾤετο ὁδὸν εἶναι διὰ τοῦ ἐπιορκεῖν τε καὶ ψεύδεσθαι καὶ ἐξαπατᾶν· τὸ δ' ἁπλοῦν καὶ τὸ ἀληθὲς ἐνόμιζε τὸ αὐτὸ τῷ ἠλιθίῳ εἶναι.

12. Χαράδρα ἰσχῦρῶς βαθεῖα. Αἱ δ' οἰκίαι ἦσαν κατάγειοι, τὸ μὲν στόμα ὥσπερ φρέατος, κάτω δ' εὐρεῖαι. Καὶ ἦν δὲ τῇ ἀληθείᾳ ὑπὲρ ἥμισυ τοῦ ὅλου στρατεύματος Ἀρκάδες καὶ Ἀχαιοί. Κῦρος γὰρ ἔπεμπε βίκους οἴνου ἡμιδεεῖς πολλάκις, ὁπότε πάνυ ἡδὺν λάβοι, λέγων, ὅτι "οὔπω δὴ πολλοῦ χρόνου τούτου ἡδίονι οἴνῳ ἐπιτύχοι· τοῦτον οὖν σοι ἔπεμψε, καὶ δεῖταί σου, τήμερον τοῦτον ἐκπιεῖν σὺν οἷς μάλιστα φιλεῖς."

13. Ἀριθμὸς δὲ συμπάσης τῆς ὁδοῦ τῆς ἀναβάσεως καὶ καταβάσεως, σταθμοὶ διακόσιοι δεκαπέντε, παρασάγγαι χίλιοι ἑκατὸν πεντήκοντα πέντε, στάδια τρισμύρια τετρακισχίλια ἑξακόσια πεντήκοντα. Χρόνου πλῆθος τῆς ἀναβάσεως καὶ καταβάσεως, ἐνιαυτὸς καὶ τρεῖς μῆνες.

(L. 1.) II. 6. 30. (5.) IV. 5. 25. (6.) V. 3. 11. (9.) VI. 2. 1. (13.) VI. 6. 5. (14.) II. 4. 24. (15.) I. 4. 7. (16.) VI. 5. 31. (17.) II. 6. 22. (21.) V. 2. 3: IV. 5. 25 (23.) VI. 2. 10. (24.) I. 9. 25. (29.) VII. 8. 26.

Digitized by Google

XVI.

1. Ἐντεῦθεν δὲ κατέβαινεν εἰς πεδίον μέγα καὶ καλον ἐπίῤῥυτον, καὶ δένδρων παντοδαπῶν ἔμπλεων καὶ ἀμπέλων· πολὺ δὲ καὶ σήσαμον καὶ μελίνην καὶ κέγχρον καὶ πυροὺς καὶ κριθὰς φέρει. Ὄρος δ' αὐτὸ περιέχει ὀχυρὸν καὶ ὑψηλὸν πάντη ἐκ θαλάττης εἰς θάλατταν.

2. Μετὰ ταῦτα Κῦρος ἐξελαύνει σταθμοὺς τέτταρας, παρασάγγας εἴκοσιν, ἐπὶ τὸν Χάλον ποταμὸν, ὄντα τὸ εὖρος πλέθρου, πλήρη δ' ἰχθύων μεγάλων καὶ πραέων, οὓς οἱ Σύροι θεοὺς ἐνόμιζον, καὶ ἀδικεῖν οὐκ εἴων, οὐδὲ τὰς περιστεράς.

3. Οἱ δὲ στρατιῶται ὡς εἶδον τὸν Ξενοφῶντα, προσπίπτουσιν αὐτῷ πολλοὶ, καὶ λέγουσι· "Νῦν σοὶ ἔξεστιν, ὦ Ξενοφῶν, ἀνδρὶ γενέσθαι. Ἔχεις πόλιν, ἔχεις τριήρεις, ἔχεις χρήματα, ἔχεις ἄνδρας τοσούτους. Νῦν ἂν, εἰ βούλοιο, σύ τε ἡμᾶς ὠνήσαις, καὶ ἡμεῖς σὲ μέγαν ποιήσαιμεν."

4. Ἐδάκρυε πολὺν χρόνον. Οἱ δὲ Καρδοῦχοι πυρὰ πολλὰ ἔκαιον κύκλῳ ἐπὶ τῶν ὀρέων. Καὶ ὕδωρ πολὺ ἦν ἐξ οὐρανοῦ. Στρατοπεδευομένων δ' αὐτῶν, γίγνεται τῆς νυκτὸς χιὼν πολλή.

5. Οὕτως ἀφίκοντο ἐπὶ τὸ στρατόπεδον πάντες σῶοι ὄντες. Ἦν δὲ τοῖς μὲν ὀφθαλμοῖς ἐπικούρημα τῆς χιόνος, εἴ τις μέλαν τι ἔχων πρὸ τῶν ὀφθαλμῶν πορεύοιτο. Ἐθύετο τῷ Διὶ τῷ Βασιλεῖ. Πέμψας Γλοῦν εἶπεν. Ἐνταῦθα ἦν πόλις ἐρήμη, μεγάλη, ὄνομα δ' αὐτῇ Κορσωτή· περιερῥεῖτο δ' αὕτη ὑπὸ τοῦ Μάσκα κύκλῳ.

6. Ἐντεῦθεν ἐξελαύνει σταθμοὺς δύο, παρασάγγας πεντεκαίδεκα, εἰς Ἰσσοὺς, τῆς Κιλικίας ἐσχάτην πόλιν ἐπὶ τῇ θαλάττῃ οἰκουμένην, μεγάλην καὶ εὐδαίμονα. Ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς· καὶ Κύρῳ παρῆσαν αἱ ἐκ Πελοποννήσου νῆες, τριάκοντα καὶ πέντε, καὶ ἐπ' αὐταῖς ναύαρχος Πυθαγόρας Λακεδαιμόνιος. Ἡγεῖτο δ' αὐτῶν

(L. 1.) I. 2. 22. (6.) I. 4. 9. (11.) VII. 1. 21. (16.) I. 3. 2: IV. 1. 11. (17.) IV. 2. 2. (18.) IV. 4. 8. (20.) V. 2. 32. (21.) IV. 5. 13. (23.) VII. 6. 44: I. 4. 16. (24.) I. 5. 4. (26.) I. 4. 1.

Digitized by Google

Ταμὼς Αἰγύπτιος ἐξ Ἐφέσου, ἔχων ναῦς ἑτέρας Κύρου πέντε καὶ εἴκοσιν, αἷς ἐπολιόρκει Μίλητον, ὅτε Τισσαφέρνει φίλη ἦν, καὶ συνεπολέμει Κύρῳ πρὸς αὐτόν. Παρῆν δὲ καὶ Χειρίσοφος ὁ Λακεδαιμόνιος ἐπὶ τῶν νεῶν, μετάπεμπτος ὑπὸ Κύρου, ἑπτακοσίους ἔχων ὁπλίτας, ὧν ἐστρατήγει παρὰ Κύρῳ. Αἱ δὲ νῆες ὥρμουν παρὰ τὴν Κύρου σκηνήν.

XVII.

1. *Ἐντεῦθεν δ' ἐπορεύθησαν οἱ Ἕλληνες διὰ Μακρώνων σταθμοὺς τρεῖς, παρασάγγας δέκα· τῇ πρώτῃ δὲ ἡμέρᾳ ἀφίκοντο ἐπὶ τὸν ποταμόν, ὃς ὥριζε τὴν τῶν Μακρώνων καὶ τὴν τῶν Σκυθινῶν. Τούτῳ τῷ τρόπῳ ἐπορεύθησαν σταθμοὺς τέτταρας· ἡνίκα δὲ τὸν πέμπτον ἐποιοῦντο, εἶδον βασίλειόν τι, καὶ περὶ αὐτὸ κώμας πολλάς. Οὐδ' ἄλλος δὲ τῶν Ἑλλήνων ἐν ταύτῃ τῇ μάχῃ ἔπαθεν οὐδεὶς οὐδέν, πλὴν ἐπὶ τῷ εὐωνύμῳ τοξευθῆναί τις ἐλέγετο.*

2. *Κατεπέμφθη ὑπὸ τοῦ πατρὸς σατράπης Λυδίας. Πάνυ ὀλίγοι ἀμφ' αὐτὸν κατελείφθησαν. Ἐντεῦθεν ἄνθρωποι μὲν πάνυ ὀλίγοι ἐλήφθησαν, βόες δὲ καὶ ὄνοι πολλοὶ καὶ πρόβατα. Συλληφθήσεται.*

3. *Τοιγαροῦν κράτιστοι δὴ ὑπηρέται παντὸς ἔργου Κύρῳ ἐλέχθησαν γενέσθαι. Τί πραχθήσεται; Ὁ δὲ Κλέαρχος ἀκούσας ἐταράχθη σφόδρα καὶ ἐφοβεῖτο. Ἐτάχθησαν οὖν ἐπὶ τεττάρων· εἶχε δὲ τὸ μὲν δεξιὸν Μένων καὶ οἱ σὺν αὐτῷ, τὸ δ' εὐώνυμον Κλέαρχος καὶ οἱ ἐκείνου, τὸ δὲ μέσον οἱ ἄλλοι στρατηγοί.*

4. *Πολλάκις δὲ χῆνας ἡμιβρώτους ἔπεμπε, καὶ ἄρτων ἡμίσεα, καὶ ἄλλα τοιαῦτα, ἐπιλέγειν κελεύων τὸν φέροντα· "Τούτοις ἥσθη Κῦρος· βούλεται οὖν καὶ σὲ τούτων γεύσασθαι." Ἠναγκάσθην διώκειν. Θώρᾱκες αὐτοῖς ἐπορίσθησαν.*

5. *Καὶ λέγεται δεηθῆναι ἡ Κίλισσα Κύρου, ἐπιδεῖξαι*

(L. 8.) IV. 8. 1. (11.) III. 4. 23. (14.) I. 8. 20. (16.) I. 9. 7. (17.) I. 8. 25: IV. 7. 14. (19.) VII. 2. 14. (20.) I. 9. 13. (21.) VII. 6. 8: II. 4. 18. (23.) I. 2. 15. (26.) I. 9. 26. (29.) III. 3. 12; 3. 20. (31.) I. 2. 14.

Digitized by Google

τὸ στράτευμα αὐτῇ. Ὁ Κλέαρχος οὐκ ἤθελεν ἀποσπάσαι ἀπὸ τοῦ ποταμοῦ τὸ δεξιὸν κέρας, φοβούμενος μὴ, κυκλωθείη ἑκατέρωθεν· τῷ δὲ Κύρῳ ἀπεκρίνατο, ὅτι αὐτῷ μέλοι, ὅπως καλῶς ἔχοι. Καὶ κατεκαύθη πᾶσα ἡ πόλις.

6. Δείσαντες μὴ ἀποκλεισθείησαν, φεύγουσιν ἀνὰ κράτος. Ἀναμνήσθητε γὰρ, ἐν ποίοις τισὶ πράγμασιν ὄντες ἐτυγχάνετε. Τότε δὴ καὶ ἐγνώσθη, ὅτι οἱ βάρβαροι τὸν ἄνθρωπον ὑποπέμψαιεν.

7. Ἐντεῦθεν ὁ Ἡρακλείδης ἠχθέσθη τε, καὶ ἔδεισε μὴ ἐκ τῆς Σεύθου φιλίας ἐκβληθείη. Οἱ μὲν δὴ στρατηγοὶ οὕτω ληφθέντες, ἀνήχθησαν ὡς βασιλέα, καὶ ἀποτμηθέντες τὰς κεφαλὰς ἐτελεύτησαν.

8. Φαρναβάζῳ παραδοθήσεται. Καὶ ὅτε ἐξ Ἐφέσου δὲ ὡρμᾶτο Κύρῳ συσταθησόμενος, ἀετὸν ἀνεμιμνήσκετο ἑαυτῷ δεξιὸν φθεγγόμενον.

9. Τῇ ὑστεραίᾳ οὐκ ἐφάνησαν οἱ πολέμιοι, οὐδὲ τῇ τρίτῃ. Φάνητε τῶν λοχᾱγῶν ἄριστοι. Οἱ δὲ στρατιῶται συλλεγέντες ἐβουλεύοντο, τὴν λοιπὴν πορείαν πότερον κατὰ γῆν ἢ κατὰ θάλατταν χρὴ πορευθῆναι ἐκ τοῦ Πόντου. Ἐβουλευόμεθα ξὺν τοῖς Κερασουντίοις, ὅπως ἂν ταφείησαν οἱ τῶν Ἑλλήνων νεκροί.

10. Ἐπεὶ δὲ ἦσαν ἐπὶ ταῖς θύραις ταῖς Τισσαφέρνους, οἱ μὲν στρατηγοὶ παρεκλήθησαν εἴσω, Πρόξενος Βοιώτιος, Μένων Θετταλὸς, Ἀγίας Ἀρκὰς, Κλέαρχος Λάκων, Σωκράτης Ἀχαιός· οἱ δὲ λοχᾱγοὶ ἐπὶ ταῖς θύραις ἔμενον. Οὐ πολλῷ δὲ ὕστερον, ἀπὸ τοῦ αὐτοῦ σημείου, οἵ τ' ἔνδον ξυνελαμβάνοντο, καὶ οἱ ἔξω κατεκόπησαν.

XVIII.

1. Ὁ μὲν ἀνὴρ τοιαῦτα μὲν πεποίηκε, τοιαῦτα δὲ λέγει. Οἱ γὰρ πολέμιοι ἀνατεθαρρήκᾱσιν. Οἱ δὲ πολέμιοι ἐπιωρκήκᾱσί τε, καὶ τὰς σπονδὰς καὶ τοὺς ὅρκους λελύκᾱσιν. Ἐγώ σε, ὦ Φαλῖνε, ἄσμενος ἑώρᾱκα, οἶμαι

(L. 1.) I. 8. 13. (4.) V. 2. 27. (5.) IV. 3. 21. (6.) VII. 6. 24. (7.) II. 4. 22. (9.) VII. 5. 6. (10.) II. 6. 1. (13.) VII. 2. 14: VI. 1. 23. (16.) III. 4. 37. (17.) III. 1. 24 VI. 2. 4. (20.) V. 7. 20. (22.) II. 5. 31. (23.) I. 6. 9. (29.) VI. 4. 12: III. 2. 10. (31. II. 1. 16.

Digitized by Google

δὲ καὶ οἱ ἄλλοι πάντες. Κῦρος δὲ, ἔχων οὓς εἴρηκα, ὡρμᾶτο ἀπὸ Σάρδεων. Ἡ μὲν γὰρ εὐταξία σώζειν δοκεῖ, ἡ δὲ ἀταξία πολλοὺς ἤδη ἀπολώλεκεν.

2. Ἀπολελοίπασιν ἡμᾶς Ξενίας καὶ Πασίων. Βασιλεὺς νικᾷν ἡγεῖται, ἐπεὶ Κῦρον ἀπέκτονεν. Καὶ στήλη ἕστηκε παρὰ τὸν ναὸν, γράμματα ἔχουσα. Εἰσὶ μὲν γὰρ ἤδη ἐγγὺς αἱ Ἑλληνίδες πόλεις· τῆς δὲ Ἑλλάδος Λακεδαιμόνιοι προεστήκασιν. Προηγεῖσθε τὴν πρὸς τοὺς ἐναντίους, ὡς μὴ ἑστήκωμεν, ἐπεὶ ὤφθημεν καὶ εἴδομεν τοὺς πολεμίους.

3. Ἔνθα δὴ προσέρχεται τῷ Ξενοφῶντι τῶν πελταστῶν τις ἀνὴρ, Ἀθήνησι φάσκων δεδουλευκέναι, λέγων, ὅτι γιγνώσκοι τὴν φωνὴν τῶν ἀνθρώπων. Πρὶν δὲ πεντεκαίδεκα στάδια διεληλυθέναι, ἐνέτυχον ἤδη νεκροῖς.

4. Μετὰ ταῦτα οὔτε ζῶντα Ὁρόντην οὔτε τεθνηκότα οὐδεὶς εἶδε πώποτε, οὐδ' ὅπως ἀπέθανεν οὐδεὶς εἰδὼς ἔλεγεν· εἴκαζον δὲ ἄλλοι ἄλλως· τάφος δὲ οὐδεὶς πώποτε αὐτοῦ ἐφάνη. Ἀκούσας ταῦτα ὁ Κλέανδρος εἶπεν, ὅτι Δέξιππον μὲν οὐκ ἐπαινοίη, εἰ ταῦτα πεποιηκὼς εἴη. Τῇ δ' ὑστεραίᾳ ἦκεν ἄγγελος λέγων, ὅτι λελοιπὼς εἴη Συένεσις τὰ ἄκρα, ἐπεὶ ᾔσθετο ὅτι τὸ Μένωνος στράτευμα ἤδη ἔν Κιλικίᾳ ἦν εἴσω τῶν ὀρέων. Πάντες δὲ ᾤοντο ἀπολωλέναι, ὡς ἐαλωκυίας τῆς πόλεως. Ἅμα δὲ τῇ ἡμέρᾳ εἰκὸς τοὺς πολεμίους ἥξειν.

5. Τούς τε πολεμίους ἐπεποιήκεσαν θρασυτέρους. Εἰλήφεσαν πρόβατα πολλά. Ἐτεόνικος εἱστήκει παρὰ τὰς πύλας. Καὶ Χειρίσοφος μὲν ἤδη τετελευτήκει, φάρμακον πιὼν, πυρέττων· τὰ δ' ἐκείνου Νέων ὁ Ἀσιναῖος παρέλαβεν. Καὶ ἄλλος ἀναβεβήκει, καὶ ἠλώκει τὸ χωρίον, ὡς ἐδόκει. Συνεβούλευσεν οὖν αὐτῷ θύεσθαι καθὰ εἰώθει. Χιτωνίσκους δὲ ἐνεδεδύκεσαν ὑπὲρ γονάτων.

6. Πάνθ' ἡμῖν πεποίηται. Ὦ θαυμασιώτατε ἄνθρω-

(L. 1.) I. 2. 5. (2.) III. 1. 33. (4.) I. 4. 8: II. 1. 11. (5.) V. 3. 13. (6.) VI. 6. 12. (8.) VI. 5. 10. (11.) IV. 8. 4. (13.) VI. 5. 5. (15.) I. 6. 11. (18.) VI. 6. 25. (19.) I. 2. 21. (22.) VII. 1. 19. (23.) III. 1. 13. (25.) V. 4. 18: VI. 6. 5. (26.) VII. 1. 12. (27.) VI. 4. 11. (29.) V. 2. 15. (30.) VII. 8. 4. (31.) V. 4. 13. (32.) I. 8. 12: III. 1. 27.

Digitized by Google

πε, σύ γε οὐδὲ ὁρῶν γιγνώσκεις, οὐδὲ ἀκούων μέμνησαι. Ὅπως οὖν ἔσεσθε ἄνδρες ἄξιοι τῆς ἐλευθερίας, ἧς κέκτησθε, καὶ ὑπὲρ ἧς ὑμᾶς ἐγὼ εὐδαιμονίζω. Ὅστις τε ὑμῶν τοὺς οἰκείους ἐπιθῡμεῖ ἰδεῖν, μεμνήσθω ἀνὴρ ἀγαθὸς εἶναι· οὐ γὰρ ἔστιν ἄλλως τούτου τυχεῖν· ὅστις τε ζῆν ἐπιθῡμεῖ, πειράσθω νικᾶν.

7. Ὁμολογεῖς οὖν, περὶ ἐμὲ ἄδικος γεγενῆσθαι; Ὥστε ἔγωγε, ἐξ ὧν ἀκούω, οὐδένα κρίνω ὑπὸ πλειόνων πεφιλῆσθαι οὔτε Ἑλλήνων οὔτε βαρβάρων. Νῦν μὲν ἡμᾶς ὑπάγεται μένειν, διὰ τὸ διεσπάρθαι αὐτῷ τὸ στράτευμα.

